ὡς ποίημα τῶν δικαίων·
εἶπα ὅτι καί γε τοῦτο ματαιότης.
15 καὶ ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην,
ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον
ὅτι εἰ μὴ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ εὐφρανθῆναι,
καὶ αὐτὸ συμπροσέσται αὐτῷ
ἐν μόχθῳ αὐτοῦ ἡμέρας ζωῆς αὐτοῦ,
ὅσας ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον.
16 Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι σοφίαν
καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν
τὸν πεποιημένον ἐπὶ τῆς γῆς,
ὅτι καί γε ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ
ὕπνον ἐν ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστιν βλέπων,
17 καὶ εἶδον σὺν πάντα τὰ ποιήματα τοῦ θεοῦ,
ὅτι οὐ δυνήσεται ἄνθρωπος
τοῦ εὑρεῖν σὺν τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον·
ὅσα ἂν μοχθήσῃ ὁ ἄνθρωπος τοῦ ζητῆσαι,
καὶ οὐχ εὑρήσει·
καί γε ὅσα ἂν εἴπῃ ὁ σοφὸς τοῦ γνῶναι,
οὐ δυνήσεται τοῦ εὑρεῖν.
9 1 Ὅτι σὺν πᾶν τοῦτο ἔδωκα εἰς καρδίαν μου,
καὶ καρδία μου σὺν πᾶν εἶδεν τοῦτο,
ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ
καὶ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ θεοῦ,
καί γε ἀγάπην καί γε μῖσος οὐκ ἔστιν εἰδὼς ὁ ἄνθρωπος·
τὰ πάντα πρὸ προσώπου αὐτῶν,
2 ματαιότης ἐν τοῖς πᾶσιν.
συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ,
τῷ ἀγαθῷ καὶ τῷ κακῷ
καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ
καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι·
ὡς ὁ ἀγαθός, ὡς ὁ ἁμαρτάνων·
ὡς ὁ ὀμνύων, καθὼς ὁ τὸν ὅρκον φοβούμενος.
3 τοῦτο πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον,
ὅτι συνάντημα ἓν τοῖς πᾶσιν·

15[2] οτι] ως δ B*† | 15[4] αυτο] -τος B† | 15[5] ημερα S† | 15[6] οσας B†] ας rel. || 16[1] του > B† | σοφιαν pau.] pr. την BSA | 16[2] πιρασμον A†: cf. 3 10 | 16[4] γε V†] > rel. | 16[5] εν > B† | βλεπιν A† || 17[1] συμπαντα B: cf. 1 14 | 17[5] μοχθηση] ποιηση A† | ο > BA | 17[7] ο > B

9 1[1] et 1[2] συμπαν B: cf. 1 14 | 1[1] καρδιαν] pr. την A | 1[2] ειδον B† | 1[3] ως] οτι ASc | 1[4] εργ. BS†] pr. αι rel. | 1[5] ειδως ο ανθρ.] ανθρ. ειδως S | 1[6] προς προσωπον S*†, εις προσωπον V† || 2[4] και 1[0] > A || 3[1] τουτο] + το A†